γένοιτο τῶν ὁμιλούντων θεῷ; τί δὲ δικαιότερον; τί δὲ κοσμιώτερον; τί δὲ σοφώτερον; εἰ γὰρ οἱ σοφοῖς ἀνδράσιν λαλοῦντες, ὑπὸ τῆς συνεχοῦς ὁμιλίας εἰς ὁμοιότητα τῆς ἐκείνων φρονήσεως καθίστανται ταχέως, τί προσήκει λέγειν περὶ τῶν λαλούντων θεῷ καὶ προσευχομένων; ὅσης μὲν σοφίας, ὅσης δὲ ἀρετῆς, καὶ συνέσεως, καὶ καλοκἀγαθίας, καὶ σωφροσύνης, καὶ τρόπων ἐπιεικείας ἀναπίμπλησιν αὐτοὺς ἡ προσευχὴ καὶ ἡ δέησις; ὥστε οὐκ ἂν τις ἁμάρτοι πάσης ἀρετῆς καὶ δικαιοσύνης ἀφορμὴν εἶναι τὴν προσευχὴν ἀποφαινόμενος, καὶ μηδὲν δύνασθαι τῶν συντελούντων εἰς εὐσέβειαν εἰσελθεῖν εἰς ψυχήν, προσευχῆς καὶ δεήσεως ἔρημον. ἀλλ᾽ ὥσπερ ἀτείχιστος πόλις ῥᾳδίως ἂν ὑπὸ τοῖς πολεμίοις γένοιτο, κα-

*DEI consuetudine perfruuntur? quid iustius, ornatius, sapientius? Nā si iis, qui sapientibus hominibus familiariter vtuntur, ex assidua consuetudine, illorum prudentiæ participes celeriter fiunt; quid de iis dicendum est, qui diuina consuetudine fruuntur, & cum DEO ipso colloquuntur? Quanta sapientia, quanta virtute, prudentia, probitate, moderatione replet ipsos oratio, & obsecratio? Itaq; non sanè is aberret, qui omnis virtutis, iustitiæque materiem esse precationem affirmet; neq; posse eorum aliquid, quæ ad pietatem conducunt, precatione, & obsecratione nudum animum penetrare. Verùm vt vrbs mœnibus minimè septa facilè in hostium potestatem venerit; quod ita nemo*

Precationes aduersus

illos